ψατο βασιλεὺς Αἰγύπτου πρὸς αὐτὸν λέγων Τί ἐμοὶ καὶ σοί ἐστιν,
βασιλεῦ τῆς Ιουδαίας; 25 οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ κυρίου 25
τοῦ θεοῦ, ἐπὶ γὰρ τοῦ Εὐφράτου ὁ πόλεμός μού ἐστιν. καὶ νῦν
κύριος μετ᾽ ἐμοῦ ἐστιν, καὶ κύριος μετ᾽ ἐμοῦ ἐπισπεύδων ἐστίν·
ἀπόστηθι καὶ μὴ ἐναντιοῦ τῷ κυρίῳ. 26 καὶ οὐκ ἀπέστρεψεν ἑαυτὸν 26
Ιωσιας ἐπὶ τὸ ἅρμα αὐτοῦ, ἀλλὰ πολεμεῖν αὐτὸν ἐπιχειρεῖ οὐ προσ-
έχων ῥήμασιν Ιερεμιου προφήτου ἐκ στόματος κυρίου· 27 ἀλλὰ συν- 27
εστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ Μαγεδδαους, καὶ κατ-
έβησαν οἱ ἄρχοντες πρὸς τὸν βασιλέα Ιωσιαν. 28 καὶ εἶπεν ὁ βα- 28
σιλεὺς τοῖς παισὶν αὐτοῦ Ἀποστήσατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα
γὰρ λίαν. καὶ εὐθέως ἀπέστησαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς
παρατάξεως, 29 καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δευτέριον αὐτοῦ· καὶ 29
ἀποκατασταθεὶς εἰς Ιερουσαλημ μετήλλαξεν τὸν βίον αὐτοῦ καὶ
ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ. 30 καὶ ἐν ὅλῃ τῇ Ιουδαίᾳ ἐπένθησαν 30
τὸν Ιωσιαν, καὶ ἐθρήνησεν Ιερεμιας ὁ προφήτης ὑπὲρ Ιωσιου, καὶ
οἱ προκαθήμενοι σὺν γυναιξὶν ἐθρηνοῦσαν αὐτὸν ἕως τῆς ἡμέρας
ταύτης, καὶ ἐξεδόθη τοῦτο γίνεσθαι αἰεὶ εἰς ἅπαν τὸ γένος Ισραηλ.
31 ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βύβλῳ τῶν ἱστορουμένων περὶ τῶν 31
βασιλέων τῆς Ιουδαίας· καὶ τὸ καθ᾽ ἓν πραχθὲν τῆς πράξεως Ιω-
σιου καὶ τῆς δόξης αὐτοῦ καὶ τῆς συνέσεως αὐτοῦ ἐν τῷ νόμῳ
κυρίου, τά τε προπραχθέντα ὑπ᾽ αὐτοῦ καὶ τὰ νῦν, ἱστόρηται ἐν
τῷ βυβλίῳ τῶν βασιλέων Ισραηλ καὶ Ιουδα.

32 Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν Ιεχονιαν υἱὸν Ιωσιου 32
ἀνέδειξαν βασιλέα ἀντὶ Ιωσιου τοῦ πατρὸς αὐτοῦ ὄντα ἐτῶν εἴκοσι
τριῶν. 33 καὶ ἐβασίλευσεν ἐν Ιουδα καὶ Ιερουσαλημ μῆνας τρεῖς. 33
καὶ ἀπεκατέστησεν αὐτὸν βασιλεὺς Αἰγύπτου βασιλεύειν ἐν Ιερου-
σαλημ 34 καὶ ἐζημίωσεν τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατὸν καὶ 34
χρυσίου ταλάντῳ ἑνί. 35 καὶ ἀνέδειξεν ὁ βασιλεὺς Αἰγύπτου βασιλέα 35
Ιωακιμ τὸν ἀδελφὸν αὐτοῦ, βασιλέα τῆς Ιουδαίας καὶ Ιερουσαλημ.
36 καὶ ἔδησεν Ιωακιμ τοὺς μεγιστᾶνας, Ζαριον δὲ τὸν ἀδελφὸν 36
αὐτοῦ συλλαβὼν ἀνήγαγεν ἐξ Αἰγύπτου.

37 Ἐτῶν δὲ ἦν εἴκοσι πέντε Ιωακιμ, ὅτε ἐβασίλευσεν τῆς Ιου- 37
δαίας καὶ Ιερουσαλημ, καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον κυρίου.
38 ἐπ᾽ αὐτὸν δὲ ἀνέβη Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος καὶ 38

24 βασ. αιγ. / προς αυτον] tr. A || 26 επιχειρει BV*†] επεχ. rel. || 27 μαγεδδαους unus cod.] μεταaδδους B†, μεταεδδαους AV; μαγεδδω *L*: cf. Par. II 35 22 | τον > B† || 30 επενθ.] pr. και A† | γενεσθαι B*† | απαν] παν B: cf. 8 62 9 10 || 31 βυβλω B†] βιβλω rel.: cf. inf. et Par. II 17 9 | κυριου] pr. του A | προπραχθεντα mu.] προ > B*, προσπροαχθ. A† | τω βυβλιω B†] τη βιβλω A: cf. sup. || 32 ιεχονιαν B†] ιωαχαζ (uel -χας) rel. (A† ιωχαζ): cf. Par. II 36 1 || 33 ιουδα] ισραηλ B† | απεκατεστ. (cf. 29)] απεστ. A | βασιλευειν B*†] pr. του μη rel. || 35 ο > A || 36 ζαριον B†] ζαρακην A | εξ αιγ.] εις αιγυπτον *L*† || 37 ενωπ.] εναντι A || 38 επ] μετ B